φιλίαν ἐμπεσόντες; σχεδὸν γὰρ οὐδὲν διαφέρομεν ἀνθρώπου C
κολοβοῦ καὶ τυφλοῦ, φοβουμένου μὴ Βριάρεως ὁ ἑκατόγχειρ
καὶ Ἄργος ὁ πανόπτης γένηται. καίτοι τόν γε παρὰ τῷ Μεναν-
δρῳ (fr. 554) νεανίσκον ὑπερφυῶς ἐπαινοῦμεν εἰπόντα ‘θαυ-
μαστὸν ὅσον νομίζειν ἀγαθὸν ἕκαστον, ἂν ἔχῃ φίλου σκιάν’.

2. † Αἴτιον δὲ μετὰ πολλῶν ἄλλων οὐχ ἥκιστά γ' εἰς φι-
λίας κτῆσιν ἡ τῆς πολυφιλίας ὄρεξις, ὥσπερ ἀκολάστων γυ-
ναικῶν τὸ πολλάκις καὶ πολλοῖς συμπλέκεσθαι, τῶν πρώτων
κρατεῖν μὴ δυναμένης ἀμελουμένων καὶ ἀπορρεόντων· μᾶλλον
δ' ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας
ἔδρεπεν (Eur. Hyps. fr. 754 Suppl. Eur. p. 56, 16)

‘ἕτερον ἐφ' ἕτερον αἰρόμενος D
ἄγρευμ' ἀνθέων ἡδομένᾳ ψυχᾷ
τὸ νήπιον ἄπληστον ἔχων’,

οὕτως ἕκαστον ἡμῶν διὰ τὸ φιλόκαινον καὶ ἁψίκορον ὁ πρόσφα-
τος ἀεὶ καὶ ἀνθῶν ἐπάγεται, καὶ μετατίθησι πολλὰς ὁμοῦ καὶ
ἀτελεῖς ἀρχὰς πράττοντας φιλίας καὶ συνηθείας, ἔρωτι τοῦ
διωκομένου παρερχομένους τὸ καταλαμβανόμενον.

Πρῶτον μὲν οὖν ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τῆς τοῦ βίου
φήμης ἣν ὑπὲρ φίλων βεβαίων ἀπολέλοιπεν ἡμῖν, τὸν μακρὸν
καὶ παλαιὸν αἰῶνα μάρτυρα ἅμα τοῦ λόγου καὶ σύμβουλον
λάβωμεν, ἐν ᾧ κατὰ ζεῦγος φιλίας λέγονται Θησεὺς καὶ Πει-
ρίθους, Ἀχιλλεὺς καὶ Πάτροκλος, Ὀρέστης καὶ Πυλάδης, Φιν- E
τίας καὶ Δάμων, Ἐπαμεινώνδας καὶ Πελοπίδας. σύννομον γὰρ
ἡ φιλία ζῷον, οὐκ ἀγελαῖόν ἐστιν οὐδὲ κολοιῶδες, καὶ τὸ ἄλλον